www.tezaurliturgic.ro

+

# ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ
# ΟΣΙΟΥ ΑΥΞΕΝΤΙΟΥ
## ΤΟΥ ΕΝ Τῼ ΒΟΥΝῼ

(οὗ ἡ μνήμη τῇ ιδ΄ Φεβρουαρίου)



* * *

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 1996 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



* * *

## ΤΗι ΙΔ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΥΞΕΝΤΙΟΥ ΤΟΥ ΕΝ Τῼ ΒΟΥΝῼ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε ἐκέκραξα, μετὰ τὰ γ΄στιχηρὰ τοῦ Μηναίου ψάλλομεν καὶ τὰ παρόντα γ΄. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Οὐρανοῦ σκοπευτήριον, ὄρος Σκόπα ἀνέδειξας, πάντιμε Αὐξέντιε τῇ ἀσκήσει σου, ἔνθα Ἠλίας ὡς ἄλλος τις, μερίμνας κατέλιπες, τῷ Δεσπότῃ ὁλικῶς, τὰς τοῦ βίου καὶ εἵλκυσας, Πνεῦμα Ἅγιον, δι᾽ οὗ μέγιστα θαύματα ἐτέλεις, καὶ Χριστῷ ὡς δῶρα θεῖα, ψυχὰς ἀνήνεγκας ὅσιε.

Ὡς στρουθὸς θεοπόθητος, ἐν κλωβῷ περικέκλεισαι, κελαδῶν εὐφρόσυνα τῷ Κυρίῳ σου, καὶ ὡς ὀξύπους τις ἔλαφος, πηγὰς τὰς τῆς Χάριτος, ἀνηρεύνας μυστικῶς, ἐν Ὀξείᾳ πανόσιε, ὅθεν γέγονας, οἰκητήριον πάντιμον Δεσπότου, ἀναπαῦον διδαχαῖς σου, τοὺς παμπληθεὶ προσιόντας σοι.

Χαιρεσίκακον δαίμονα, καὶ μισάνθρωπον δράκοντα, ἔχων σου ἀντίπαλον κατεπάτησας, πάλιν καὶ πάλιν Αὐξέντιε, δυνάμει τοῦ Πνεύματος, τὰς ψυχὰς ἐλευθερῶν, τῆς ἀθλίας δημεύσεως, καὶ ἐνέδυες, τῆς χαρᾶς τοῦ Κυρίου τὸν χιτῶνα, ἰατρεύων ἀσθενείας, καὶ ἐκδιώκων τὰ πνεύματα.

Δόξα. Ἦχος πλ.δ΄ (*τὸ ἐν τῷ Μηναίῳ*).



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἡ καθαρὰ τοῦ Πνεύματος τοῦ Ἁγίου σοφία, σκηνώσασα ἐν τῇ καθαρᾷ καρδίᾳ σου, παμμακάριστε Αὐξέντιε, ὅσιε πάτερ, κατὰ τῶν πνευμάτων τῆς πονηρίας φοβερὸν σε διώκτην ἀνέδειξε· καὶ οὐ μόνον φοβερόν, ἀλλὰ καὶ κρυπτῶν νοσημάτων ἰατρόν. Διὸ παῤῥησίαν κεκτημένος πρὸς τὸν φιλάνθρωπον Θεόν, τῇ ἀπαύστῳ πρεσβείᾳ σου, τῶν ψυχικῶν ἡμᾶς παθῶν, καὶ σωματικῶν ἐλευθέρωσον.

Καὶ νῦν. Ὁ Βασιλεὺς τῶν οὐρανῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἀναγνώσματα ὁσιακά. Καταξίωσον.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Σχολάζειν τῷ Κυρίῳ ἐπιποθήσας ἐκ ψυχῆς, τὴν σχολαρίων τάξιν κατέλιπες, ὡς οὐδέν σοι τὸ μένον προσφέρουσαν, πανέντιμε Αὐξέντιε· τὰ ὅπλα δὲ τοῦ Πνεύματος ἐπενδυθείς, κατέλαβες ὀρέων τὰς ὑψικόρφους κλιτῦς, ἔνθα ὡς ἄμπελος Κυρίου πολύκαρπος, ἐπηύξησας τὸ δοθέν σοι τάλαντον, καὶ τῷ θεοβλύτῳ οἴνῳ τῆς διδασκαλίας σου, πολλοὺς Αὐτῷ κατεμέθυσας.

Ἦχος β΄.

Τοῦ Βαπτιστοῦ ταῖς τρίβοις ἑπόμενος, τὴν ἐρημίαν πάτερ προείλου, ὡς ὁδὸν τῷ Χριστῷ σε συνάπτουσαν, καὶ τῇ νηστείᾳ ἢ μᾶλλον ἀσιτίᾳ εὐφραινόμενος, μυστικὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ σου προέθου· δι᾽ ὧν τὰ τοῦ Δεσπότου βαθέα καταμαθών, ὡς φιλάδελφος μετέδωκας τοῖς σὲ πελάζουσι πιστοῖς· ὅθεν Αὐξέντιε θεόψυχε, στήριξον καὶ ἡμᾶς, ταῖς προσευχαῖς ταῖς θεοδέκτοις σου.

Ἦχος γ΄.

Τοὺς πόδας σου προσήρεισας τῷ Κυρίῳ, παρ᾽ Οὗ ἀπείληφας Αὐξέντιε, τὴν προοδευτικὴν ἀγάπην τῆς ἀσκήσεως, καὶ οὐδόλως μὴ κινούμενος τῷ σώματι, τῷ πνεύματι ἀνῆλθες εἰς ἑβδόμου οὐρανοῦ τὰ πλάτη, ἔνθα μαθητευθεὶς παρὰ Δεσπότου τὰ ἀπόῤῥητα, τῇ Ἐκκλησίᾳ ἀνεδείχθης, στύλος Ὀρθοδοξίας ἀκατάβλητος, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Τὴν ὑμνῳδίαν ἔχων ἀκατάπαυστον ἐν τῇ ψυχῇ σου, ὡς κύκνος Πάτερ τοῦ Χριστοῦ, ἐμελῴδησας ᾄσματα θεοτερπῆ, καταγλυκαίνοντα τὴν Ἐκκλησίαν· ἐν δὲ τῷ Παραδείσῳ νῦν ἱστάμενος, καταγλύκανον ταῖς πατρικαῖς μεσιτείαις σου δεόμεθα, τὰς ἐκ τῶν τοῦ βίου δυσχερῶν πικραινομένας ψυχάς, ὅσιε Αὐξέντιε.

Δόξα. Ἦχος πλ.α΄.

Ὡς στρατιώτης τοῦ Χριστοῦ ἀκαταμάχητος, τὴν τῆς ἀσκήσεως περιβληθεὶς πανοπλίαν, Αὐξέντιε τρισμακάριε, ὅρους τῆς φύσεως ὑπερέβης, ἐν ὄρεσι διαιτώμενος, τῇ δὲ χαριέσσῃ σου κοινωνίᾳ, πλήθη πιστῶν παρεκάλεσας· καὶ ὁ σκωληκόπους μοναστής, ὢ τοῦ θαύματος! ἰατρὸς αὔθωρος ἐδείκνυσο, τοῖς ἐκ παθῶν καὶ πνευμάτων ἐνεργείαις πάσχουσι. Τῶν δὲ θείων Πατέρων κυρώσας τὰς πράξεις, βασιλέων καὶ κλήρου ἐγένου ἀγαλλίασις καὶ καύχημα. Διὸ πάτερ ἱκέτευε τὸν Δεσπότην, ἐν εἰρήνῃ τηρῆσαι τὸ πολίτευμα, καὶ σωτηρίαν παρασχεῖν ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε...

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Στιχηρὰ προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅτε τὸν Χριστὸν ἐπιποθῶν, ὄρη τῆς Ὀξείας καὶ Σκόπα, Πάτερ κατείληφας, τότε ὥσπερ θήραμα Τοῦτον ἐδίωξας, καὶ θηρεύσας τῷ βίῳ σου, Αὐξέντιε μάκαρ, ὄντως κατετρύφησας Αὐτοῦ τῆς χάριτος· ὅθεν αὐξηνθεὶς μέγας ἔφυς, πάσης Ἐκκλησίας προστάτης, ὁ μηδὲν κατέχων ὁσιώτατε.

*Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Ὅτε εὐσεβῶν πλήθη σοφέ, πάντοθεν συνέῤῥεον πόθῳ, ἰδεῖν σὸν πρόσωπον, τότε ταῖς γλυκέσι σου αὐτοὺς προσρήσεσιν, ἀντεδώρεις Αὐξέντιε, καὶ πόθον ἐκίνεις, τῶν ψυχῶν πρὸς Κύριον, παρ᾽ Οὗ δεδόξασαι, καὶ τῶν πονηρῶν δαιμονίων, πνεύματα ἐδίωκες θείαις, καὶ ἱλαστικαῖς εὐχαῖς σου Ὅσιε.

*Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Ὅτε τῶν παρθένων τὸν χορόν, πατρικῶς συνήθροισας πάτερ, ταῦτα ἐδίδασκες· μυστικὸν συνάψασαι γάμον πρὸς Κύριον, τὴν Αὐτοῦ ὡραιότητα, ποθήσατε μόνον, ὅτι σκεύη πάντιμα καὶ ἱερώτατα, Σχήματι γεγόνατι θείῳ, ὅπερ ἀνεπίδεκτον πέλει, τέκνα μολυσμοῦ ὡς ἁγιώτατον.

Δόξα. Ὁ αὐτός.

Τετειχισμένος τῇ χάριτι τοῦ Σωτῆρος, ὁσιώτατε Αὐξέντιε, τὸν κλωβόν σου εὗρες ἀετὸν ὀξυπτέρυγον, πρὸς τὴν Ἐδὲμ σε ἀνάγοντα· ἐντεῦθεν γὰρ τοῦ ἄλλου ἀέρος πολίτης καθέστηκας, τὰ ἄνω καὶ φρονῶν καὶ ποθῶν· διό σοι ὤφθη ὡς περιστερὰ τὸ Πνεῦμα τὸ Ἅγιον βρωματίζον σε τῇ μυστικῇ τροφοδοσίᾳ, ἧς μετόχους ποίησον καὶ ἡμᾶς, ὅπως δοξάζωμεν χαίροντες, τὸν σὲ δοξάσαντα τρισόλβιε.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀπολυτίκιον *(παλαιόν)*

Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Ὥσπερ φοίνιξ ηὐξήθης Πάτερ ὑψίκομος, δικαιοσύνης ἐκφέρων τοὺς ψυχοτρόφους καρπούς· σὺ γὰρ βίον ἱερὸν πολιτευσάμενος, τῆς Ἐκκλησίας στηριγμός, καὶ θαυμάτων αὐτουργός, Αὐξέντιε ἀνεδείχθης, διὰ παντὸς ἱκετεύων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχ. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Αὐξήσας ὡς σοφός, τραπεζίτης τὴν χάριν, Αὐξέντιε πολλήν, ἔχεις νῦν παῤῥησίαν, ἰᾶσθαι νοσήματα, καὶ διώκειν τὰ πνεύματα, ὅθεν αὔξησον, τὴν πρὸς Δεσπότην ἀγάπην, τῶν τιμώντων σου, καὶ γεραιρόντων ἐνθέως, τὸ θεῖον μνημόσυνον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεί, πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον, παροργίζοντας Κύριον, ἀπειρόγαμε, εὐλογημένη Μαρία, καταφύγιον, ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

Μετὰ τὴν β΄ στιχ. Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τῷ θείῳ βίῳ σου, πολλοὺς ὠφέλησας, γλυκέσι λόγοις σου, πλήθη κατήρδευσας, τοῖς δὲ θαυμάτων ποταμοῖς, ἐπλήρωσας οἰκουμένην· καὶ Πατέρων δόγμασι, συμφωνήσας Αὐξέντιε, τὰς ἰγνύας ἔστησας, κλονουμένων αἱρέσεσι, διό σε καὶ Χριστὸς θείῳ στέφει, ὡς ἔστι δίκαιον κατέστεψε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν ὡραιότητα, τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι, διὸ ὡς προσετάγην βοῶ σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Προσηνὴς τοῖς ἀνθρώποις καὶ συμπαθής, φοβερὸς λεγεῶσι τοῦ πονηροῦ, ἐδείχθης Αὐξέντιε, τῇ σεπτῇ πολιτείᾳ σου· τὸν Χριστὸν γὰρ καθ᾿ ὥραν, ζητῶν ταῖς ἐντεύξεσι, θησαυρὸν σῆς καρδίας, ἐφεῦρες ἀσύλητον· ὅθεν ἐγεγόνεις, ποταμὸς χαρισμάτων, παρθένων διδάσκαλος, καὶ μιγάδων παράκλητος, διὰ τοῦτο δεδόξασαι, ὡς ἄριστος ποιμὴν τῶν ψυχῶν, καὶ ἀγγέλων πάτερ ἰσοστάσιος, μεθ᾿ ὧν χεῖρας Κυρίῳ, ὕψου ὑπὲρ δούλων σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, ὑπεράμωμε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλη, καταύγασον δέομαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Οἱ Ἀναβαθμοί· τὸ α΄ἀντίφωνον τοῦ δ΄ἤχου, Ἐκ νεότητός μου.

Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχ. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...*

**Εὐαγγέλιον·** τὸ ὁσιακόν (βλ.ἐν τῷ ὄρθρῳ τοῦ ὁσ.Σάββα).

Ὁ Ν΄. Ἐλέησόν με....

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

καὶ τὸ ἰδιόμελον.
Ἦχος πλ.β'.

Εἰς ἑκατὸν αὐξήσας τὸ δοθέν σοι τάλαντον παρὰ Χριστοῦ, πάτερ Αὐξέντιε, ἀπείληφας δικαίως τῆς ἐργασίας σου τὸ ὄφλημα· ἀλλὰ φιλάδελφε ὅσιε, μὴ ἐπιλάθου καὶ ἡμῶν, τῶν πίστει γεραιρόντων σου, τὸ πάντιμον μνημόσυνον, καὶ δίδου ἑκάστῳ τὰ ψυχαῖς συμφέροντα.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Στιχηρὰ προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ἐπιποθήσας τὸ ὄρος, ἀπαρασάλευτον, τῆς ἄνω βασιλείας, κατεφρόνησας δόξης, καὶ ᾤκησας Ὀξείας ὄρος τραχύ, θεῖε πάτερ Αὐξέντιε, ἔνθα ὀξείᾳ ῥομφαίᾳ σῶν προσευχῶν, τὸν ἀντίδικον κατέσφαξας.

Ἅπας ὁ βίος σου Πάτερ, καιρὸς ἦν θείας εὐχῆς, δι᾿ ἧς συνημιλλήθης, τοῖς ἁγίοις Ἀγγέλοις, οἳ κύκλῳ σου ἑστῶτες ὡς ἀδελφοί, ἀοράτως ἐνίσχυον, καὶ σταλαγμοὺς σῶν δακρύων καὶ στεναγμούς, τῷ Δεσπότῃ προσανέφερον.

Ὀρθοπραξίᾳ στολίσας, Πάτερ σοφῶς σὴν ζωήν, στύλος Ὀρθοδοξίας, ἀνεδείχθης κυρώσας, τὰ δόγματα Πατέρων, ἐν προσευχῇ, τὴν τοῦ Λόγου δὲ σάρκωσιν, ὁμολογήσας τελείαν καὶ ἀληθῆ, χριστεμπαίκτας ἀπεστόμωσας.

Τῶν πενομένων φροντίζων, πάτερ Αὐξέντιε, ὑπὲρ σαὐτὸν προθύμως, τοὺς ποικίλως νοσοῦντας, ἰάτρευες εὐχαῖς σου ταῖς δραστικαῖς, καὶ παρθένους ὡδήγησας, πρὸς τὸν νυμφῶνα τὸν θεῖον ἔνθα ἑστώς, τοὺς τιμῶντάς σε μνημόνευε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δόξα. Ἦχος πλ.β'.

Ἐν ταῖς αἰσθήσεσί σου ὡς θησαυροφύλακας στήσας, τὰ τοῦ Χριστοῦ ἐντάλματα, πάτερ Αὐξέντιε, ἐφύλαξας ὡς τοῖς ἀνθρώποις δυνατόν, τῆς ἁμαρτίας σεαυτὸν καθαρεύοντα· ὅθεν ἀπείληφας παρὰ Κυρίου τῶν χαρισμάτων τὴν πληθύν, ἅτινα ὡς καλὸς οἰκονόμος διένειμας ἀνεπιφθόνως τοῖς χρῄζουσι. Διὸ μεταφυτευθεὶς εἰς τὸ πῖον ὄρος τῆς Βασιλείας, μνήσθητι τῶν τὴν μνήμην σου τιμώντων ὁσιώτατε, καὶ αὔξησον ἡμῶν τὴν πρὸς Κύριον ἀγάπησιν.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

Δοξολογία μεγάλη κλπ. ὡς συνήθως

## Μεγαλυνάρια

Κατηγλαϊσμένος ταῖς ἀρεταῖς, ὤφθης ἐν τῷ βίῳ, θεοφόρε περιφανής, αἴγλῃ εὐσεβείας, καὶ χάριτι θαυμάτων, Αὐξέντιε ῥυθμίζων, τοὺς προσιόντας σοι.

Ὄρη κατηγλάϊσας ἀρεταῖς, τοῦ σεπτοῦ σου βίου, καὶ ἐδόξασας τὸν Χριστόν, Ὃν καθικετεύοις, Αὐξέντιε τρισμάκαρ, ὑπὲρ τῶν ἐκτελούντων, μνήμην σου πάντιμον.

Φύλαττε σοὺς δούλους ἐκ τῶν ἐχθροῦ, προσβολῶν τρισμάκαρ, καὶ ἰάτρευε σαῖς εὐχαῖς, πάθη τῶν νοσούντων, ὡς ἐν τῷ βίῳ Πάτερ, Αὐξέντιε θεόφρον, ἵνα τιμῶμέν σε.

Στίχοι

*Αὔξησον ἡμῶν ἀγάπην πρὸς Δεσπότην,*
*ὀρεσίβιε Αὐξέντιε, ὡς ὄρος.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ